eul_wid: mgm-aa

*Μελιννῶ* · Melinno

# To Rome

## *Εἰς Ῥώμην*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ λογοτεχνική* Literary Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 541.1 [ln_1]χαῖρέ μοι, Ῥώμα, θυγάτηρ Ἄρηος, χρυσεομίτρα δαΐφρων ἄνασσα, σεμνὸν ἃ ναίεις ἐπὶ γᾶς Ὄλυμπον [para]αἰὲν ἄθραυστον.[ln_5]σοὶ μόνᾳ, πρέσβιστα, δέδωκε Μοῖρα κῦδος ἀρρήκτω βασιλῆον ἀρχᾶς, ὄφρα κοιρανῆον ἔχοισα κάρτος [para]ἀγεμονεύῃς. σᾷ δ᾽ ὑπὰ σδεύγλᾳ κρατερῶν λεπάδνων[ln_10]στέρνα γαίας καὶ πολιᾶς θαλάσσας

book 541.2 σφίγγεται· σὺ δ᾽ ἀσφαλέως κυβερνᾷς [para]ἄστεα λαῶν. πάντα δὲ σφάλλων ὁ μέγιστος αἰὼν καὶ μεταπλάσσων βίον ἄλλοτ᾽ ἄλλως[ln_15]σοὶ μόνᾳ πλησίστιον οὖρον ἀρχᾶς [para]οὐ μεταβάλλει. ἦ γὰρ ἐκ πάντων σὺ μόνα κρατίστους ἄνδρας αἰχματὰς μεγάλους λοχεύεις εὔσταχυν Δάματρος ὅπως ἀνεῖσα[ln_20]καρπὸν ἀπ᾽ ἀνδρῶν. *